ὧι γνώμη θ' ἕπεται Κύρνε καὶ ὧι δύναμις.

πίνων δ' οὐχ οὕτως θωρήξομαι, οὐδέ με οἶνος
ἐξάγει, ὥστ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.

οὐδέν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν > 1164e
πιστὸν ἑταῖρον, ὅτωι μή τις ἔνεστι δόλος· × f
ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι ὥστε μολύβδωι g
χρυσός, ὑπερτερίης δ' ἄμμιν ἔνεστι λόγος. h

πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
σιγῶ, γινώσκων ἡμετέρην δύναμιν.

πολλοῖς ἀνθρώπων γλώσσηι θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα πέλει·
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον ἄμεινον,
ἐσθλὸν δ' ἐξελθὸν λώιον ἢ τὸ κακόν.

πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,